προτετράγωνον αριθμόν·
σύμμετρος αρα ἐστὶν ἡ ΑΒ
τῆι ΒΖ μήκει· καὶ ἔστι τὸ ἀ
πο τῆς ΑΒ ἴσον τοῖς ἀ
πο τῶν ΑΖ ΖΒ· ἡ ΑΒ ἄρα
τῆς ΑΖ μείζον δύναται
τῆι ΒΖ συμμέτροι αὐτῆι·
ἔρηνται ἄρα δύο ῥηταὶ
δυνάμει μόνον σύμμετροι
αἱ ΒΑ ΑΖ· ὥστε τὴν μείζονα τὴν ΒΑ τῆς ἐλάσσονος
τῆς ΑΖ μείζον δυνασθαι τῶι ἀπο τῆς ΖΒ συμμέ
τρου ἑαυτῆι μήκει :~



ἀρτὴν δύο ῥητὰς δυνάμει μόνον συμμέτρους· ὥστε
τὴν μείζονα τῆς ἐλάσσονος μείζον δυνασθαι τῶι
ἀπο ἀσυμμέτρου ἑαυτῆι μήκει· ἐκκείσθω ῥητὴ
ἡ ΑΒ καὶ δύο τετράγωνοι αριθμοι οἱ ΓΕ ΕΔ· ὥστε
τον συγκείμενον ἐξ αὐτῶν τον ΓΔ μηκέναι τετρά
γωνον· καὶ γεγράφθω ἐπὶ τῆς ΑΒ ἡμικύκλιον το
ΑΖΒ· καὶ ποιήσθω ὡς ὁ ΔΓ προς ΓΕ· οὕτως
το ἀπο τῆς ΒΑ προτο ἀπο τῆς ΑΖ· καὶ ἐπεζεύχθω
ἡ ΖΒ· ὁμοίως δὴ δείξομεν ὡς ἐν τῶι προτούτου
ὅτι αἱ ΑΒ ΑΖ ῥηταί εἰσιν δυνάμει μόνον σύμμετροι·
καὶ ἐπεὶ ἐστὶν ὡς ἡ ΔΓ προς ΓΕ· οὕτως το ἀπο
τῆς ΒΑ προτο ἀπο τῆς ΑΖ· ἀναστρέψαντι ἄρα
ὡς ὁ ΓΔ προτον ΔΕ· οὕτως τὸ ἀπο τῆς ΑΒ προς
το ἀπο τῆς ΒΖ· ὁ δὲ ΓΔ προτον ΔΕ λόγον οὐ

κέχει ὃν, τετράγωνος αριθμὸς προτετράγωνον αριθμόν·
οὐδ' ἄρα το ἀπο τῆς ΑΒ προτο ἀπο τῆς ΒΖ λόγον
ἔχει ὃν, τετράγωνος αριθμὸς προτετράγωνον αρι
θμόν· ἀσύμμετρος ἄρα
ἐστὶν ἡ ΑΒ τῆι ΒΖ μήκει· καὶ
δυναται ἡ ΑΒ τῆς ΑΖ μεί
ζον τῶι ἀπο τῆς ΖΒ ἀ
συμμέτροι ἑαυτῆι· αἱ ΑΒ
ΒΖ ἄρα ῥηταί εἰσι δυνά
μει μόνον σύμμετροι· καὶ ἡ
ΑΒ τῆς ΑΖ μείζον δυνα
ται τῶι ἀπο τῆς ΖΒ ἀ
συμμέτρου ἑαυτῆι μήκει :~



ἀρτὴν δύο μέσας δυνάμει μόνον συμμέτρους ῥητὸν πε
ριεχούσας· ὥστε τὴν μείζονα τῆς ἐλάσσονος
μείζον δύνασθαι τῶι ἀπο συμμέτρου ἑαυτῆι μήκει·
ἐκκείσθωσαν δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι
αἱ ΑΒ· ὥστε τὴν Α μείζονα οὖσαν τῆς ἐλάσσονος
τῆς Β μείζον δύνασθαι τῶι ἀπο συμμέτρου ἑαυτῆι μήκει·
καὶ τῶι ὑπο τῶν ΑΒ· ἴσον ἔστω τὸ ἀπο τῆς Γ· μέσον
δὲ τὸ ὑπο τῶν ΑΒ· μέσον ἄρα καὶ το ἀπο τῆς Γ·
μέση ἄρα καὶ ἡ Γ· τῶι δὲ ἀπο τῆς Β· ἴσον ἔστω τὸ
ὑπο τῶν ΓΔ· ῥητὸν δὲ το ἀπο τῆς Β· ῥητὸν ἄρα
καὶ τὸ ὑπο τῶν ΓΔ· καὶ ἐπεὶ ἐστὶν ὡς ἡ Α προτὴν Β·
οὕτως το ὑπο τῶν ΑΒ προτο ἀπο τῆς Β· ἀλλὰ
τῶι μὲν ὑπο τῶν ΑΒ· ἴσον ἐστὶ τὸ ἀπο τῆς Γ· τῶι δὲ

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo